books2ebooks.eu

Meurer
Körling, Jonas Petri

# Megison, kai kratison pantōn Theou euergetēmatōn, ... dēmosia exelenchōn apedeixa Iōnas Kiörlingh, ho Petrou (Petri) ...

Holmiæ
1662

e-böcker från ditt bibliotek av
eBooks on Demand
digitaliserad av
Kungliga Biblioteket
National Library of Sweden

# EOD – Miljoner böcker bara en knapptryckning bort. I mer än 10 europeiska länder!



**Tack för att du väljer EOD!**
Europeiska bibliotek har miljontals böcker från 1400- till 1900-talet i sina samlingar. Alla dessa böcker går nu att få som e-böcker – de är bara ett musklick bort. Sök i katalogen från något av biblioteken i eBooks on Demand- nätverket (EOD) och beställ boken som e-bok – tillgängligt från hela världen, 24 timmar per dag och 7 dagar i veckan. Boken digitaliseras och blir tillgänglig för dig som e-bok.

# EOD bokens fördelar!

- Få samma utseende och känsla som med originalet!
- Använd ditt standardprogram för att läsa boken på skärmen, zooma och navigera genom boken.
- Skriv ut enstaka sidor eller hela boken.
- *Sök*: Använd fulltextsökning för enskilda fraser.
- *Klipp & klistra*: Kopiera bilder och delar av texten till andra applikationer (t.ex. ordbehandlingsprogram).

# Villkor för användning

Genom att använda EOD-tjänsten accepterar du de villkor som ställs av biblioteket som äger den aktuella boken.

- Villkoren på svenska: http://books2ebooks.eu/odm/html/nls/sv/agb.html

# Fler e-böcker

Redan nu erbjuder 30 bibliotek från 12 europeiska länder denna service.
Mer information finns tillgängliga via http://books2ebooks.eulla boken.

- http://search.books2ebooks.eu/

UPPS.
4. A.
F1700
Br. 777
Före 1700 Litt. Grek. Tal. Adm. (Tjm.)

# ΜΕΓΙϚΟΝ, καὶ ΚΡΑΤΙϚΟΝ

## ΠΑΝΤΩΝ ΘΕΟΥ ΕΥΕΡΓΕΤΗΜΑΤΩΝ, ΚἊΝ ΑΝΑΡΙΘΜΗΤΩΝ,

ΔΗΜΟΣΙΑ

ΕΞΕΛΕΓΧΩΝ ΑΠΕΔΕΙΞΑ

**ΙΩΝΑΣ Kiörlingh / Ὁ ΠΕΤΡΟΥ.**

Ἐν Ἀκαδημίας τῶν Σουήδων Σαλάνης ἀκροατηρίῳ παλαιῷ.

Ἔτει ἀποτέξεως τῆς ἀει-παρθένου Χ ΗΗΗΗΗΗ ΔΔΔΔΔΔΙΙ. 1662

Μεσοῦντος μηνὸς Μαρτίου ἑβδόμῃ.

**HOLMIÆ,**

---

Typis Meurerianis.

θέγματα, μεχρὶ τινὲς
παρὰ τοῦ υἱοῦ, ἐν σώματι
μένην, παρὰ τοῦ ἁγίου
θεῖσαν, τίς, ἐν σπουδῇ
ήσεται, μὴ ἔμπειρος
οὕτω ταῦτα διακεῖσθαι
ων αὐτῶν γλωσσῶν γνώ-
ώνιον, μάλιστα διακείμε-
χον, αὐτὴν, ἣν ἡ τῆς ἡλικίας
ὡραίο-

KUNGL. BIBLIOTEKET STOCKHOLM

ΕΥΗΓΕΝΕΙ, ΚΑΙ ΕΥΔΟΚΙΜΩ ΚΥΡΙΩ,

# K. EMUNDO Grüpenhielm/

Τῆς Ἱερωτάτης Βασιλέως Μεγαλειότητος, ἣν οἱ περὶ τοὺς Σουή-
δους, Γέτας, καὶ Οὐανδάλους, εἰκότως μάλις εὐλαβοῦνται,
Καθηγήμονι, Βουλευτῇ, καὶ τῆς στάσεως Γραμματεῖ εὐδοξοτάτῳ,
Κυρίῳ παρὰ Semenhoff/ καὶ Schediga/ Κυρίῳ
μου, τε καὶ εὐεργέτῃ ὡς δυνατὸν εὐμενεστάτῳ.

Πρὸς ἄλλοις τῶν κακῶν, ἅτιν' οἱ πρωτόπλασοι, τῷ κλίσῃ αὐτοῦ
προσκρούσαντες ὡς ὅτι μάλιστα δυστυχῶς, τοῖς ἐπιγιγνομένοις
προσέφερον, μηδαμῶς ἐλάχιστον, ἐγεγόνει ἡ περιπέτεια συγχύ-
σει γλωσσῶν, ἀντὶ μιᾶς, πᾶσι τῆς οἰκουμένης μερίκοις, πρότε-
ρον λαληθείσης, ἐπὶ τὴν γῆν προσενηχθεισῶν, τὴν αἰτίαν παρε-
χομένη. Αὐτὴ γὰρ πρὸς μόχθον ἀνθρώπειον πόλλ' ἐπέδω, καὶ
μνημεῖον ἀΐδιον, πανταχοῦ γῆς εἰς ὑπάντησιν, παρακοῇ τῶν ἀν-
θρώπων καθέστη. Ἄλλων γὰρ συμβεβηκότων παραλειφθέντων,
τίς διαθήκης τῆς παλαιᾶς, μεθ' ἡμῶν ἀνθρώπων, διατεθεί-
σης παρὰ τοῦ ὑψίστου φιλομαθὴς, οὐ τῇ δυσχερείᾳ μεγίστῃ δια-
μαχήσεται, ὑπὲρ τῆς γνώσεως ὀνομάτων γνησίας, γλώσσης τῆς
προγονικῆς, καὶ ἑτέρων κρουνοῦ; καὶ πόνον πολυμέριμνον μοχθή-
σας περ' αὐτὴν, παρὰ μικρὸν δεήσει ἀκούειν ἄπειρος ἐκείνης, μὴ
ἑτέρων Ἀνατολικῶν Γλωσσῶν γνωρίσεως, διὰ τῶν τόπων συνά-
ψεος, προσομιλιῶν ἀνάγκης, καὶ θεσμῶν ἰδιότητος, συνεισαχ-
θείσων ἐπὶ τὰ ἅγια τοῦ ἁγιωτάτου ἀποφθέγματα, μέχρι τινὸς
ἐπιτυχὼν; τὴν δὲ καινὴν διαθήκην, τὴν παρὰ τοῦ υἱοῦ, ἐν σώματι
ἡμῖν προσομιλήσαντος, ἀποπεφασμένην, παρὰ τοῦ ἁγίου
πνεύματος διακονιῶν, εἰς μνήμην παραδοθεῖσαν, τίς, ἐν σπουδῇ
τεθέμενος τὴν σωτηρίαν αὐτοῦ αἰώνιον αἰσθήσεται, μὴ ἔμπειρος
γιγνόμενος τῶν ἑλληνικῶν μαθημάτων; Οὕτω ταῦτα διακεῖσθαι
ἐπεὶ ἐκ πρώτης ἡλικίας ἔμαθον, καὶ τῶν αὐτῶν γλωσσῶν γνώ-
σιν, ὧν, ἐν τῷ ζητήσειν κληρονομίαν αἰώνιον, μάλιστα διακείμε-
θα ἐνδεῶς, ἐξ αὐτῆς, διὰ σπουδὴν ἔχον, αὐτὴν, ἣν ἡ τῆς ἡλικίας

ὡραιο-

ὡραιότης, καὶ τὰ ἀναγκαῖα συνεχώρησε. Νῦν δὲ βουλησόμενος τῶν ἐμῶν ἐπιτηδευμάτων ἀπόδειξιν δοῦναι, εἴτε μᾶλλον μάρτυρα δημόσιον παραστῆναι, τίνος εὐεργετημένος εὐεργέτημα, σπουδαίως ἔχον περὶ τὰ γράμματα, μηδενὸς προαγωγὴν τῇ σοῦ ἔχω συμβάλλειν, μή τι γ' αὐτῆς προτιμήσειν. Τὸ πρῶτον γὰρ τὴν Ἀκαδημίαν Σαλάνην ἐπεσκεψάμενος, σοῦ εἰσηγησαμένου τὴν γνώμην μου ἐξειργασάμην· παρά σου προήχθην πρὸς βασίλειον σιτηρέσιον, δι' οὗ μεχρὶ ταύτης ὀλίγου δεῖν ἡμέρας, περὶ τὰ μαθήματα φιλοπονούμενος διετέλεσα. οὐχ ἧττον τὴν σου προθύμου εὐμένειαν, Ἀκαδημίας τιμὴν μείζονος ἀλλάττοντος, ἠσθόμην. Πολλάκις γάρ με, παρὰ τῶν δυσχερειῶν πλήθους, τίσι διαμάχεσθαι εἰς ἀνάγκην ἔκειτο, παρακμάζοντα καλῶς ὤρθωσας, ἀνορθούμενον ἐβεβαίωσας, κατατείνοντα ἐπὶ τὸν λιμένα ἐκέλευσας. Καὶ δὴ, εἰ παραλληλίζων συμβάλω τοὺς μοι εὐνοϊκῶς εὑρημένους ἔχειν πρὸς τὰ μου ἐπιτηδεύματα, οὐχ ἡγέομαι μηδένα μᾶλλον φιλοπονοῦντα ταύτας τὰς σπουδὰς, ὧν ὑπουργία ὧδε, ἐν μέρει δείγματος, δημοσίᾳ μαρτύρημα παρέχειν ἐπιχειρῶ· λόγον γὰρ ποιήσας τοῦ ὑποκειμένου ἀμφιγνοέω· οὐ δὲ τῆς ἑρμηνείας γένους, οὐδαμοῦ εὑρήσοντά με καλῶς ἐπίσταμαι. Τούτου ἕνεκα μάλιστ' ἐπειθόμην, μὴ μόνον ἐφήδεσθαί σε σφόδρα τοῖς ἐμπονήμασι, τοῖς κατὰ πάντα τελείοις, καὶ ταύτῃ τελεσιουργίᾳ ἀπαρτισθεῖσιν, ἧς μὲν, οἱ περὶ τοὺς ἀνθρώπους διατεταμένως ἀκριβολογούμενοι, δυνήσαιντ' ἂν ἐπιτυχεῖν, ἀλλὰ καὶ ἐν μέρει πρωτοπειρείας προσφερόμενα προσδεξόμενον εὐαρέστως. Πρόσδεξαι γοῦν εὐπροσώπως ταῦτα, μηδαμῶς ἀντιπελαργήσεως δίκην, ἀλλὰ μνήμης εὐχαριστούσης· Καὶ μοι, ὃν τῆς σαυτοῦ προστασίας κατηξιώσειας, εἰσέτι τὸ λοιπὸν εὐνοϊκῶς ἔχων μὴ βαρύνου. Ὁ Θεὸς μέγιστος καὶ κράτιστος εὐεργέτης, ἀσφαλῆ σαυτὸν σεσωσμένον, τὸν πλεῖστον χρόνον τῷ τῆς πατρίδος εὐχρηστήματι δωρησάτω· Καὶ μετὰ τὴν στρατείαν ἐπὶ ταυτῆς τῆς γῆς τοῖς φιλοχρίστοις ποιηθησομένην, νίκην ἀναιρούμενον, τοῖς ἁγίοις δορυφορούμενον ἀγγέλοις εἰς τὴν ἐπουράνιον ἀκρόπολιν συνεισαγαγέτω.

Ὄνομά σου τὸ εὐκλεέστατον ἀδιαλείπτως δι' αἰδοῦς ἄγων

Ἰωνᾶς Kiörlingh.

ΕΙ Καὶ ἐκ πρώτης ἡλικίας ἐπειθόμην, περὶ διατριβὰς, ὡντινωνοῦν πραγμάτων, οὐδένα προσήκειν, ἄλλο τι, πλὴν τὴν τοῦ ὑψίστου δόξαν ἐπιζητεῖν· Μάλιστα δ' αὐτὴν ζητηθῆναι, διὰ τὴν τῆς ἀρετῆς ἐνέργειαν, πᾶσαν γνώμης τε καὶ διανοίας ἀκμὴν, καὶ ἐξοχὴν, ὁποσαοῦν ἡ φύσις ἀπονέμειν τινὶ κατηξίωσεν, ἢ ἑνὸς ἑκάστου πολυμηχανία προσπορίζειν ἐδύνατο, συμπεφορημένα πρὸς τὴν τοῦ πλησίον λυσιτέλειαν· Καὶ μὴν δὴ καὶ πάντα, τοσούτῳ αὐτῶν εὐχρήστημα μεῖζον ἀπολαύειν, ὅσῳ πλείους ἂν ὀνήσοιτο, σὺν ὠφελήματι τῶν αὐτῶν, ὥσπερ μάρτυρας ἢ γνώμης, ἢ πολυμηχανίας, ἢ σπουδῆς γὲ μὴν ἤτοι περὶ τὴν παιδείαν πεποιημένης, παραστῆσαι τὰς ἑαυτοῦ διατριβὰς ἐν τῷ δεῖξαι, τῶν ἐνὶ ἑκάστῳ σπουδαιοτάτων, δημοσίᾳ τε καὶ ἰδίᾳ· Ὅμως τὰ μου, ἅτιναοῦν, ἐπιτηδεύματα, τινος πεπρωμένης διαθείσης οὐκ οἶδα, μέχρι ταύτης, ὀλίγου δεῖ, ἡμέρας, ἐπιδημεῖν εὐλαβούμενα, λυπηρῶς οἰκουρεῖν διατετέλεκε. Ταύτης δὲ τοῦ ἐπιδημεῖν πηγῆς, ἱκανῶς πολυχρονίου, ὁ παρὼν παῦσαι τὴν ἀρχὴν ποιήσει. Οὐ μὴ διὰ τὸ φαίνεσθαι αἰσθανόμενος ταύτης αὐτῶν ἐπιδόσεως, ὥστε μὴ αὐτὰ δεῖν ἀμφισβητήσειν πανηγύρει, μετὰ τῶν ἀκροωμένων, ἢ συμφωνήσεως, ἢ λυσιτελείας παίρστασθαι, καὶ μηδενὸς ἀκριβοδίκαιον δοκιμασίαν οὐκ ἔτι δείσειν· Ἀλλὰ, τὰ μὲν, διὰ τὸ ἄχθεσθαι τῆς ἰδίας αὐτῶν αἰδέσεως, ῥαθυμίας ὑπόληψιν δυσχερῶς διαφευγούσης, ἀνθ' ὧν ταύτῃ πολλοὶ, τῆς πρώτης προφάσει, μολυνθέντες τυγχάνουσι καταλαμβανόμενοι· Τὰ δὲ, διὰ τὸ μὴ ἀμφισβητεῖν ἐπικρίσεως ἐπιεικοῦς ἐφικέσθαι, τῶν διακειμένων ἐρωτικῶς, ὁμοίαις τῶν δυσχερειῶν, περὶ παιδείας· ὥστε, κἂν πάντων, ἢ ὑπὸ τῆς γνώμης ἀγχινοίας, ἢ τῶν ζηλούντων φθόνου, ἀπορῇ δυνάμενα, ταῖς τούτων διανοίαις γὲ μὴ, μαρτυρίαν κατατίθεσθαι, μὲ, τὸ πᾶν ὅτ' ἂν ᾖ χρόνου, ὁ παιδείας



ἀντι-

ἀντιποιούμενος διετέλεσα (Τὸ μὲν, τὸν ἀριθμὸν τῶν ἐτῶν ἱκανῶς, καθ' ὅσον δὲ συνέβαινεν εὐπορεῖσθαι τῶν ἐπιτηδείων, ἴσως οὐ μὴ ὂν περιμήκες) μὴ ῥαθυμοῦντα γεγονέναι διατετελεκότα. Μήδε ὅτ' ἂν ἐμοὶ σὺν ἑτέροις εὐνομίας, καὶ δαψιλείας βασιλέως συγκεχώρηται, σχολῆς αἰσχρᾶς ἀφορμὴν εἶναι βεβουλῆσθαι, μηδὲ τῇ τρυφῇ δωρηθὲν ἡγεῖσθαι. Μάλιστα δὲ διὰ τὸ καθηκόντως ποιεῖσθαι τοὺς, τοῦ Θεοῦ, τοῦ ὑψίστου, ἐπαίνους, καὶ τῶν ἐκείνου εὐεργεσιῶν ἐγκώμιον, ἐκ στόματος νηπίων μέν τοι καὶ ψελλιζομένων· Καὶ πάντας τῶν ἀνθρώπων ἐν ἐκκλησίᾳ τοῦ χριστοῦ συντρεφομένους ἐκ νέας κατηχεῖσθαι, περὶ χάριτος τοῦ πνεύματος ἁγίου ἐν συνειδήσει διελεγχθῆναι, τί χάρισμα, καὶ ἡλίκην θαυμάσιόν τε καὶ ἄπιστον πραότητα, τίνα, μετὰ ταύτης ἐξουσίας, ἧς τινος ἐξουσιαστικωτέρα μηδαμῶς ἐστιν ἄλλη, εὐταξίαν, ὅσα, τὸ τελευταῖον, ἄμετρα, καὶ πάσαις γλώσσαις ἀνεκδιήγητα σπλάγχνα, Θεὸς ὁ πανάριστος καὶ μέγιστος, ἀνθρώποις, θανάτου αἰωνίου ἐνόχοις πάρεσχε, τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ παρὰ θρόνου μεγαλειότητος αὐτοῦ ἐπὶ ταύτην τὴν γῆν, πάντων κακῶν καὶ ταλαιπωριῶν μεστὴν, καταπέμψας. Ὅ τοῦ Θεοῦ τοῦ ὑψίστου εὐεργέτημα, τοσούτῳ ἧττον ἡμᾶς φιλοχρίστους σιωπῇ ἐπικαλύπτειν προσήκει, ὅσῳ τῷ μεγέθει, ἀξιώματι, καὶ ὑπεροχῇ εὐεργετημάτων περιγίγνεται πάντων. πρὸς δὲ τούτοις αὐτοτάτῳ ἀναθήσοντες τυγχάνομεν, οὗ ἀπολαύομεν τούτου τοῦ μέλους ἐν τῷ τοὺς ἄλλους ἐγκωμιάζειν, περὶ οὗ ἐργασθησομένου, πρὸς τὴν τῶν ἐξόχων πραγμάτων ἐπιτηδειότητα τῶν ἐπαίνων μὴ ἐλάχιστα τὰ ἔθνη ἐσπουδάσαν. Πᾶσι γε δὴ τῶν Θεοῦ κλιθέντων, συνέσεως μετειληφότων, δύναται διὰ πολλῶν εἶναι γνωστὸν, ἀλλὰ δὴ καὶ αὐτόθεν μάλιστα, τὸν Θεὸν ἐπὶ τὸ φιλοτιμεῖσθαι σπουδάζοντα πάλιν ἄνθρωπον ἐπαναγαγεῖν εἰς αὐτοῦ τὴν πάλαι κατάστασιν, καὶ ζωὴν αἰώνιον, αὐτῷ μὲν πρὸ καταβολῆς κόσμου προορισθεῖσαν, μετέπειτα δὲ διὰ τὴν αὐτοῦ παρακοὴν ἀποφρασσομένην, ἐλεημοσύνην, πραότητα, χάριν, καὶ στοργὴν, τῆς αὐτοῦ δίκης, δυνάμεως, ἀξιοπρεπείας, καὶ μεγαλειότητος τὸ σύνολον προτετιμηκέναι.

Τίνος ἕνεκεν, ὁ ἄνθρωπος, παντὸς αὐτοῦ βίου, οὗ, διὰ τὴν ἐσχάτην ταλαιπωρίαν, κατὰ πλημμελήματος ἰδίου, ἐμέλλησε διατελεῖν, παραμυθίας οὐ μετρίως ἐπιτυχών, τοῦ υἱοῦ Θεοῦ ἀποπεφασμένως ἐπὶ τῆς γῆς συνομιλήσαντος, σκέψιν σκοπήσει ἐπιμελῆ, ὁποιά ποτε, καὶ πόση ταύτη ἡ ἀγαθοεργία ᾗ ἣν εὐεργετημένος ἐστίν· οὐκ ἀπὸ παρομοίου τινὸς παρεχομένη ἀλλὰ παρὰ Θεοῦ ὡς οἷόν τε μεγίστου, καὶ ὡς δυνατὸν συφωτάτου· οὐχ ἐν ἢ ἑτέρῳ ἀνθρώπῳ, οὐχ ἐν ἢ ἑτέρῳ γένει, ἀλλὰ πᾶσι τῶν ἀνθρώπων, τῶν πώποτε προγεγενημένων, ὄντων, ἢ ἐσομένων· Ὅση τούτου ἕνεκα τοῦ παρέχοντος ἡ χάρις, ὅση, ὥστε φράζειν ἀνθρωπείως, φιλευποιΐα, καὶ ἡλίκη ἀντιστρόφως λεχθήσεται τοῖς ἀνθρώποις τοῦ περισσοῦ αἴνεσις, ἡλίκον τούτων ἐγκώμιον.

Κἂν μηδενὶ τοῦτο τὸ τῆς γνώμης ᾖ ἀγχίνουν, οὐδεὶς οὕτως εὐμοιρῇ τῆς φύσεως, ἢ περὶ τοὺς λόγους δεινὸς ὑπάρχῃ, τοῦ εἰπεῖν ἢ γράφειν εὐπορῇ, ὡς, οὐ λέξω τῇ τῶν ὀνομάτων φιλοκαλίας ἐκλογῇ, ἢ τούτων ἁρμονίᾳ, ἢ περιλαμβανόντων αὐτὰ σχημάτων εὐπρεπείᾳ, ἀλλ᾽ ἁπλῇ ἐξαριθμήσει δύνασθαι διελθεῖν εὐεργετήματα πάντα τοῦ Θεοῦ· ὅμως, περὶ ταῦτα σπουδαίως ἔχων, τοῦτο διϊσχυρίζεσθαι μηδαμῶς ἂν ἀπορήσῃ οὐδὲν αὐτῶν εἶναι μεῖζον, ἢ κρεῖττον, οὗ ἐν τῇ τῶν ἀνθρώπων ἀπολυτρώσει πάρεσχεν. Ὅ σπουδὴν ποιούμενος, κατὰ τὸ τῆς γνώμης μέτρον, ἐξελέγχειν, ὑμᾶς ὦ ἀκροάται τιμιώτατ᾽ ἓν ἕκαστον κατὰ τὴν τῆς αὐτοῦ ἀξιοπρεπείας τάξιν, καὶ ἐξοχήν, ᾗ προσῆκόν ἐστι τῇ διανοίας θεραπείᾳ συντόνως αἰτέομαι καὶ λιπαρέω, ἵνα μοι, περὶ τοῦ λέγειν οὐ μὴ ἐγγεγυμνασμένῳ προσκείμενοι, τὴν ἐν τῷ λέγειν χαλεπότητα, τῇ ὑμῶν εὐνοίᾳ κουφίζειν καταξιώσητε.

Θεὸν παντοκράτορα, κόσμον ἐκ τῶν μὴ φαινομένων κατηρτικέναι· Κατηρτισμένον πολυποικίλοις κεκαλλωπικέναι καλλωπίσμασι· πάντων γενεῶν τροφώδη βρωμάτων, ὁμοίως ἀναγκαίων ὥσπερ ἡδέων πετοιηκέναι· Ἄνθρωπον κατ᾽ ἴδιον εἰκόνα καὶ ὁμοίωσιν κτισθέντα πρὸς οἴκῳ τούτῳ, ὡς πλατυτάτῳ, λαμπροτάτῳ καὶ ὡς ὅτι μάλιστα παρασκευασμένῳ εἰσοιθῆναι, καὶ πάντα

τὰ

τὰ σοφώτατα κατηρτισμένα τούτῳ ἐκείνῳ ὑποτεταχέναι· ταῦτα τὸ μέγεθος τοσαῦτά μὲν ἐστὶν, ὥστε μωρὸν εἶναι καὶ ἀνάγκην, ὅντινα μὴ ὁμολογούμενον ἐκεῖνα τοσαύτης μεγαλειότητος ὄντα τυγχάνειν, ἵνα πάντων αὐτοκρατόρων, ἐνδοξοτάτων βασιλέων, κρατίστων δήμων τὰ πεπραγμένα, καὶ εὐεργετημένα, μάλιστ' ὡς δυνατὸν ἀναρμόστως, ἢ λαμπρότητι τοῦ ἀξιωματικοῦ, ἤτε μεγέθει μηχανήματος, ἤτ' ὁμοιότητι διαπράξεως, ἤτε ταχύτητι τελειώσεως ἐξετάζεσθαι παράλληλα πρὸς ταῦτα δύνηται· Καὶ μὴ διαβεβαιούμενον ταύτην τοῦ κόσμου εὐρυχωροτάτην μηχανὴν ταχύτερόν τινος οἴκου κατεσκευασμένην, καὶ λαμπροτέρως κεκοσμημένην τοῦ οὐδενὸς τέχνης ἀπεικάζειν δυναμένης, μεγαλοπραγμοσύνην ὠφελιμωτάτην μείζω εἶναι τοῦ μηδενὸς νοῦν, ἢ διαλογισμὸν δύνασθαι χωρεῖν. Ἀλλὰ γὰρ ὅμως ἐστὶ τινα μείζω. Ταῦτα γὰρ παντοδύναμος ὁ Θεὸς, διὰ τὴν αὐτοῦ δύναμιν, πάντων κρατοῦσαν πεποίηκε, τὸ σεμνὸν αὐτοῦ ἐμφανίζων· Ταῦτα διὰ τὴν αὐτοῦ διατετέλεκε σοφίαν, δόξαν δηλοποιῶν· Ταῦτα διὰ τὴν αὐτοῦ διέπραξε θειότητα, Θεὸν ἑαυτὸν ἐλέγχων· Ταῦτα διὰ τὴν αὐτοῦ ἀγαθωσύνην ἀπεργάσατο, τὰ κτισθέντα πρὸς τὸ σεαυτὸν γνωρίζειν μεγαλείως κατάγων, τὰ δραστικώτατα περιείλκων. Τί γὰρ τούτων τι δυσχερείας αὐτῷ προσέφερε; διὰ τὸ μὴ πλειόνων πόνων πάντα ταῦτα πλεονεκτεῖν, ἐκφωνήσεως ἑνὸς φθέγματος, καὶ θᾶσσον ῥήματος διατετελέσθαι· Καὶ σὺν τίσι τούτων οὐκ ἐκλάμπει δόξα μεγίστη; καὶ τὸ θεῖον ἐμφανίζεται σεμνόν; Ἀλλὰ μὴν ἐν τῷ δωρήσασθαι τῇ ζωῇ τὸν ἄνθρωπον, τοσαῦτα, τὸ πλῆθος, εὐεργετούμενον εὐεργετήματα, τοσούτους, καὶ τῆς ψυχῆς, καὶ τοῦ σώματος, καὶ τῶν ἐξωτερικῶν ἀγαθῶν κόσμους κεκοσμημένον, καὶ ὅμως διὰ μεγίστης ἀσεβείας ἀπόδειξιν αὐτοῦ ἀποστατοῦντα, καὶ οὕτως βασάνων αἰωνίων ἔνοχον γεγενημένον· οὐ μόνον ἄυτως κεχαριτωμένον, ἀλλ' ἵνα δυνήσῃ αὐτῇ δωρεῖσθαι, τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ὑβριστικωτάτως θανατωθησόμενον παραδεδωκέναι, μηδὲν σεμνὸν ἐνταῦθα δηλοῦται, μηδεμία δόξα περιλάμπει, μηδὲν κοινώνημα τὸ τῆς

μεγα-

μεγαλοπρεπείας αὐτόθι φαίνεται γεγονός. Ἀλλὰ μόνη προστατεῖ ἐλεημοσύνη, παράδοξος ἀναδείκνυται πραότης, ἀνεκδιήγητος ἐκφαίνεται χάρις, ἄμετρος μεγαλοδωρείας καθορᾶται ἀγαθότης. Ἐπειδήπερ ὁ ὕψιστος περὶ τοῦ κατωτάτου ἠθέλησε σπλαγχνίζεσθαι· Τῷ δικαιοτάτῳ ἔδοξε πάντως τῶν δικαίων ἀφίεσθαι, τῶν ἑαυτοῦ· αὐτὸς ὁ κράτιστος ὑπέμεινε τὸν υἱὸν αὐτοῦ μονογενῆ ἀθλιώτατον καὶ δυστυχέστατον γίνεσθαι καὶ κλῆρον κατωτάτου ἀνδραπόδου παραδέχεσθαι.

Ὁ Θεὸς τὰ στοιχεῖα τοῦ κόσμου, εἰς διάστασιν, κατὰ τόπον, ὑπερμεγεθεστάτην, εὐταξίᾳ βελτίστῃ εὐαρμοστοῦντα διαθεὶς· ἐν ἑκάστῳ αὐτῶν, πρὸς τὴν κουφότητα, καὶ τὸ βάρος, τόπον ἀπέδοκε. Γῆν, βαρυτάτην αὐτῶν, ἐν μέσῳ τοῦ ἀέρος, ὕδωρ πανταχόθεν περιβεβλημένην, σφαίρας δίκην, κρεμασθεῖσαν καθέστη· ὕδατι κώλυμα προέτεινε, τοῦ μὴ ἐπικλύζεσθαι τὴν γῆν, αὐτοῦ ἐπικυμαίνοντος· Διαστοὺς φωστῆρας, εἰς αἰῶνα τὴν ἄμετρον πλατύτητα τοῦ κόσμου, αὐταρκέστατα περιφωτίζειν μέλλοντας ἐναλλάγδην, διέταξε. Καὶ τίς ἂν πώποτε δυνήσαιτο πάντα Θεοῦ ἔργα, τὰ, διὰ τὴν μεγίστην αὐτοῦ σοφίαν, τῇ δυνατωτάτῃ ἐνεργείᾳ διαπεπραγμένα καθαριθμεῖν; Ἀλλ' ὅμως τοιαῦτα περὶ τούτων διαπέπραχεν, ἅτινα, κατὰ τὴν αὐτοῦ παντοκρατείαν ἐδύνατο γίνεσθαι, καὶ τῆς σοφίας ἕνεκα μηδὲν δυσχερείας προσέφερε. Μηδὲν γὰρ ἐστὶν οὕτω δυσχερὲς, οὕτως ἀδύνατον, ὃ, κατὰ τοῦ Θεοῦ δύναμιν, μὴ διατελεσθήσεται. Ἀλλὰ τοῦ νοῦ, ἐπὶ τοιαύτης ἐξοχῆς βαθμοῦ, δι' ὀργὴν δικαιοτάτην παροξυνθέντος ἐπικρατεῖν, τὸν θυμὸν κατέχειν· Ἀπὸ τῶν, νόμου αὐτοῦ ἐπιεικεστάτου, παραβάτων, οὐ μόνον μηδεμίαν τιμωρίαν λαβεῖν, ἀλλὰ πρὸς τὸ μηδὲν τῆς ἰδίας δικαιοσύνης ἀπόλλυσθαι τὸν υἱὸν αὐτοῦ, τὸν μονογενῆ τὴν αὐτὴν δίκην αἰτεῖν· Ἀνθρώποις ζωὴν αἰώνιον, δι' ἐσχάτην αὐτῶν ἀναρχίαν αὐτοῖς ἐξηκμασμένην, ὑπὲρ σπλάγχνων αὐτοῦ, τῶν ἐνδοτάτων, ἐξ ὑπαρχῆς ἀνταποδιδόναι· Ταῦτα Θεῷ πεποιῆσθαι, τοσούτῳ θαυμασιώτερον, ὅσῳ μεγαλειότερος, ὅσῳ παροργισμὸς ὑπὲρ δικαιοτέρων αἰτιῶν αὐτῷ ὑπάρχει, ὅσῳ

ους ἐλεεῖ, διὰ τῆς ἰδίας αὐτῶν παρανομίας, μᾶλλον εἰσὶ καταβεβλημένοι. Τοιγαροῦν, παντοκρατεία Θεοῦ, μεγαλειότης, τὸ θεῖον, ἀγαθοσύνη, καὶ σοφία, πάντων τῶν ἐθνῶν γράμμασιν, ἢ γλώσσαις διαμνήμης, ὥσπερ τοῖς νῦν, οὕτω τοῖς μέλλουσι χρόνοις ἀχθέντα (μηδεμία γὰρ γενεὰ μηδέποτε μελλήσει ἐγερθῆναι, τούτων ἐγκωμίου λήθην ἐμποιήσουσα) μεγάλην παρέχει ἐπὶ τοῖς ἀνθρώπων θυμοῖς ἐμπληξίαν, θαυμασμὸν, καὶ εὐλάβειαν. Ἀλλὰ μὴν τῇ ἀκοῇ αἰσθανόμενοι, τοῖς ὄμμασι σκοποῦντες, διανοίᾳ ἀναγνωρίζοντες, ἡλίκῃ πραότητι, τίνι τῷ τῆς ἐπιεικείας, ὡς εὔσπλαγχνος, ὡς πατρικὸς ἡμᾶς ἄριστος ὁ Θεὸς, καὶ μέγιστος ἠσπάσατο· Μάλιστα δὲ ἐν μηνίματι, δι' οὗ χαλεπῶς τὰ δικαιότατα ἡμῖν εἶχε· Πρὸς τούτοις ἐν μεγαλειότητι, πάντων τῶν μεγαλείων ἐξοχῆς περιγινομένῃ, πῶς εὐσεβῶς πρὸς τὸν Θεὸν ἔχουσιν οἱ κατ' ἀλήθειαν φιλόχριστοι; πόσην χάριν ἐξ ὑποκαρδίου ὀμφῆς προενεχθεῖσαν οἴδασι; πῶς πολύστονοι γίνονται, καὶ τοσοῦτον, ὥστε δακρύειν· ὑπὸ χαρᾶς ἀγνοοῦντες, ἴσιν εὐλαβείας σπουδαῖς, τὸν αὐτοῦ νοῦν, διάνοιαν, καὶ ἐνθυμήματα, πῶς διατεθῆται περὶ τοὺς ἀνθρώπους, θεωρηθησόμενα παρὰ τούτων ἀναφανδὸν ἀποφαίνοντα, περιέπωσι· πῶς αὐτὸν ἐπαινῶσι ταῦτα· Τίνι θεραπείᾳ πρὸς αὐτὸν διακείσονται. Αὐτὸς μέντοι παράδεισος σὺν πᾶσιν, οἷς περιλαμβάνει, χρήμασι, κἂν ἀλόγοις, ἐπιθυμητικῶς ἐσχηκέναι μοι δοκεῖ τῷ Θεῷ χάριν προσθήσων, ταύτης φωνῆς γλυκυτάτης διὰ στόματος πατρὸς οὐρανίου ἐκφωνηθείσης, Τὸ σπέρμα τῆς γυναικὸς κεφαλὴν τοῦ ὄφεως συντρίψειν. ᾧ καὶ ἄλογα ζῶα, πρὸς τὸν βασιλέα, τὰ νεώτατα παρὰ τοῦ σπέρματος προρρηθέντος, γεγονότα, καταπεπληγμένα μαρτυρίαν φανερῶς κατετίθετο.

Πρὸς τούτοις, οἱ ἅγιοι τῶν ἀγγέλων οὐδὲν θεραπείας γένος, ἢ εὐθυμίας σημεῖον, τοῖς αὐτοῖς χρόνοις, καταλελοίπασιν, αἰσθανόμενοι τοὺς ἀνθρώπους ἐκ σκότους ᾅδου, εἰς τὸ φῶς, ἐπαναχθέντας· ἐκ θανάτου πρὸς ἀναβιώσασθαι μετακεκλημένους· αὐτοῖς ζωῆς, τῆς πρόσθεν συνήθειαν ἀνεωγυῖαν· ἀφ' ἧς, ἐπὶ πάμ-

πολ-

πολλὸν ἤδη χρόνον, ἐξείργοντα, διὰ τῆς ἁμαρτίας μολυσμόν· καὶ πᾶσι σύμβολον δοθὲν, τοῦ, περὶ ζωῆς αἰωνίου, πεποιθότως ἐλπίζειν. Ὥσπερ ἐσενάκοιεν πρότερον ἀποτετελεσμένον οὕτω Θεοῦ κτίσμα, τοῦ, τούτου ὠφελείας ἕνεκα, καὶ χρήσεως, τοσαῦτα θαυμάσια, πολλῶν εὐεργετημάτων πεπληρωμένα πράγματα, πεποιηκότος· ἀνθ' ὧν, καὶ ἐφ' ὅσον χρόνον πάντα χρήματα τῷ ἀνθρώπῳ γέγονεν ἄφθορα, σφετέρων αὐτῶν ἐπιτηδευμάτων μιμητικὸν, καὶ εὔζηλον· διὰ τῆς ἁμαρτίας παράπλωσιν, πάντα τρόπον, τεταλαιπωρηκὸς· συνήμονος δίκην, καὶ συνοδοιπόρου, ἀφ' αὐτῶν ἀπεσπασμένον. Τοιγαροῦν, χριστοῦ εἰς κόσμον πεμφθέντος, τὴν ταχίστην, τὴν αὐτοῦ γέννησιν ἀνθρώποις ἀπήγγειλαν· καὶ αὐτοῖς τούτου θείου εὐεργετήματος συνησθέντες, Θεοῦ, ἀνθρωπίνης, δι' αὐτὴν, ἀπολυτρώσεως αἰτίου, συναγωνιστοῦ, καὶ συντελεστοῦ εὔκλειαν συμφωνίᾳ λιγυρωτάτῃ ὕμνησαν. Τί γοῦν ἡμῖν ἀνθρώποις ποιητέον; ὧν τινων χάριν πάντα πραγματεύεται· τῶν αὐτῶν σωτηρίας ἕνεκα πάντα γίνεται, πάντα συντελεῖται; ἵνα τῆς ἐλευθερίας, τῆς πάλαι, μεταλάχωμεν, ἣν ἀϊδίως μέλλομεν κλησόμενοι. οὐκοῦν εὐαγγελιζομένου τούτου, Θεὸν, ἴδιον αὐτοῦ υἱὸν, ὑπὲρ τῶν ἀνθρώπων, παραδεδωκέναι, πάντας αὐτῶν, ἀπὸ πρώτου, ἐκ γυναικὸς γεννηθέντος, μέχρι τοῦ ἐσχάτου, ἐξ αὐτῆς γεννηθησομένου, ἐπὶ στήθος ἡμῶν διὰ μνήμης ἔξομεν; ὧν ἐν ἑκάστῳ, οὕτω νεκροῖς, καὶ ζῶσιν, ὡς ἔσεσθαι μέλλουσι, τέκνων ἀπέδω πεποίθησιν· ἀσφάλειαν πρὸς πατρῷον αὐτοῦ πρόσωπον παρέσχηκε· καὶ δυστυχέστατα, διὰ γονέων αὐτῶν παραπλώματα, πανολέθρους, εἰς ἐλευθερίαν ἐξέλετο· καὶ ταύτην αὐτοῦ εὐεργεσίαν τῶν λοιπῶν ἀνεκφωνήτων προκρίνοντες εἰκότως πατρικὴν προσαγορεύσομεν; Τὰ γὰρ λοιπὰ Θεοῦ ἀγαθὰ, τὸ μέγεθος ὑπερφυῆ μὲν ἐστὶν· ἀλλά γε διὰ τὴν αὐτοῦ παντοκράτειαν, σοφίαν, καὶ τῆς δυνάμεως θειότητα ποιηθέντα· ἅτινα τοῦ ποιεῖν τοσούτῳ ῥᾴω τῷ Θεῷ ἐγένετο, ὅτι θείας αὐτοῦ φύσεως προηγουμένης ἐπιτελεσθέντα. Τοῦτο δὲ τοσούτῳ χαλεπώτερον γέγονεν, ὅσῳ φιλοστοργία θεϊκὴ τῆς ἀνθρωπίνης ἐστὶ περικαεστέρα· διὰ τὸ ταύτην ἐξ αὐτῆς φυτεύεσθαι· καὶ ἐν

Θεῷ

Θεῷ οὐδὲν ἄλλο πλὴν θείαν αὐτοῦ φύσιν δυνάμεθα κατανοεῖν εὑρεθῆναι.

Διὰ τοῦτο θαυμαστὸν οὐ δοκῶ μοι λέγων, εἰ εὐεργέτημα τοῦτο, τῶν λοιπῶν μέγιστον, καὶ ἄριστον εἶναι, διϊσχυρίζεσθαι μηδαμῶς ἀμφιγνοήσω. Καθὼς γὰρ, τοῖς λοιποῖς αὐτοῦ τῶν ἔργων, καὶ χαρισμάτων, πάντων κόσμου τούτου ἡγημόνων, καὶ δυναστῶν, κἂν περὶ τὰς ἀρετὰς μάλιστα φιλοπονούντων, περιεγένετο· διὰ τὸ δεῖν τοὺς πάντας αὐτῶν ἐξ αὐτοῦ ἐκείνου ἀρετῶν ἀναβλύσει πίνειν, ὅσοι δὴ, περ᾽ αὐτὰς σπουδάζουσι, Καὶ τῷ αὐτοῦ πάντας σφῶν αὐτῶν ἀνατίθεσθαι δυνάμεις, καὶ εὐεξίας· οὕτω καὶ χάριτι ταύτῃ ἑαυτὸν ἀναγκαῖον ἐστὶ νενικηκέναι. Ἐπειδὴ γὰρ, οὐ δυνάμεθα, τῇ διανοίᾳ ἡμῶν καταλαμβάνειν, ἄλλο τι, τὴν πατρικὴν Θεοῦ φιλοστοργίαν, ἢ τὴν αὐτοῦ δικαιοσύνην εἶναι, πλὴν Θεὸν πατέρα φιλοστοργεῖν προθυμούμενον μάλιστα, καὶ δικαιότατον· ἐφ᾽ ὅσον οὐδὲν ἐν Θεῷ, ἐκτὸς θείας αὐτοῦ φύσεως, ἔστιν εὑρίσκειν· τοιγάρτοι, διότι τοσοῦτον τὴν αὐτοῦ φιλοστοργίαν παρακμάζειν ἐάῃ, ὡς υἱὸν αὐτοῦ ἀνέχεσθαι θανάτῳ φονιωτάτῳ παραδοθήσεσθαι, πρὸς τὸ, τῇ δικαιοσύνης ἀκριβείᾳ, καθ᾽ ἧς αἴτημα πάντες ἂν ἀπολλοίμεθα, ποιήσειν ἱκανόν· εἰκότως εὐεργέτημα τοῦτο βέλτιστον, καὶ μέγιστον ἀπαινουμένως καλεῖται. Διότι, τούτῳ, οὐ μόνον πάντων κτισθέντων εὐοράτων, καὶ ἀοράτων δυνάμεως, καὶ ἀγαθοσύνης, ἀλλὰ καὶ ἑαυτοῦ περιεγένετο. Ἀνθ᾽ ὅτου, αὕτη ἀγαθοποιΐα, τοιαύτη καὶ τοσαύτη ἐστὶν, ὥστε μηδεμίαν γενεὰν, ἐγκωμίου παντοκρατορίας αὐτοῦ, σοφίας, καὶ λοιπῆς ἀγαθοσύνης, ἐν μηδενὶ κόσμου γωνίᾳ παύσειν. Ἄλλως γὰρ, μηδὲν τῶν ἔργων αὐτοῦ χειροποιήτων, καὶ ἐκ στοιχείων συμπεφυκότων, ὑπάρχει, ὃ μὴ ἀρχαιότης μέλλει ἀποχράεσθαι, καὶ ἀναλίσκειν· οὗτος δ᾽ αὐτοῦ οἶκος, αὕτη αὐτοῦ ἡ πιότης, αὕτη φιλοστοργία, καθ᾽ ἑκάστην τὴν ἡμέραν, ἀεὶ μᾶλλον ἀνθήσει· ὡς, ὅσον ἀρχαιότητι, ἐκ τῶν ἔργων αὐτοῦ ἀφαιρῆται, τοσοῦτο ταῦτα πρὸς ἔπαινον προαιρήσει.

Καὶ μέντοι τῶν ἀνθρώπων, μὴ τούτου εὐεργετήματος

πάν-

πάντων ἐγκωμίου ἐκ περιουσοῦ ὑπερέχοντος, καταξιωθέντων, τί τὰ λοιπὰ Θεοῦ σωρηδὸν παρεχόμενα, λυσιτελήσειε; Τί γὰρ ἄνθρωπος ὠφεληθήσοιτο χειροποίητον αὐτοτάτου Θεοῦ ὀνομάζεσθαι; καὶ ὅμως, ἐκ τούτου κόσμου, τὴν ἐπὶ θάνατον αἰώνιον ἰέναι· ἢ λέγεται καὶ αὐτοῦ ἐκπισμένον εἰκόνα; Ἀντιβλέψει οὐρανοῦ, καὶ γῆς ἡδίστῃ τοὺς ὀφθαλμοὺς ἑστιᾶν; γλυκυτάτῳ βρώματος, καὶ πόματος γένει, περὶ τὸν βίον τοῦτον χρονικὸν ζῆν τὸ σῶμα τὸ σφέτερον αὐτοῦ. σιτίζειν; καὶ ὅμως, μετὰ τὴν ψυχὴν παρὰ σώματος χωρισθεῖσαν, τοσούτῳ καταδεέστερον τοῖς ἀλόγοις ζώοις πράττειν, ὅσῳ χεῖρόν ἐστι βασάνους αἰωνίους βασανίζεσθαι, τοῦ ταλαιπωρίαις προσκαίροις ὑποταχθῆναι. Ἐπειδήπερ αὐτῶν ψυχαὶ πασῶν χαλεποτήτων, ἅμα τοῖς σώμασιν ἀπαλλάσσονται· ψυχὴ δ᾽ ἀνθρώπων, κατὰ τὴν ἰδίαν αὐτῆς ἀφθαρσίαν, δυστυχίαν αἰώνιον ἂν ὑπομείνειε. Ὃ, ὁ Θεὸς, πάντα προορῶν, καὶ πάντας ἐλεέων, ἀπ᾽ αἰῶνος θεωρήσας, παραυτίκα, πεπτωκότων πρωτοπλάστων, ἀνθρώπινον γένος διὰ τοῦ ἰδίου υἱοῦ λυτρωθήσεσθαι παρήγγειλεν· ἵνα πᾶς παρὰ γυναικὸς πώποτε γενησόμενος, καὶ ἐν τῷ τοῖς αὐτοῦ γονεῦσι κατ᾽ ἴχνος κατακολουθήσειν, πεπρωμένῃ τελεσιμόρῳ, καὶ ἀθλίᾳ, ἐπὶ τὸ ἁμαρτήσειν ἐλαθησόμενος περιπλέξηται· ὥστε κἂν, ὑπό τινος τῆς ἀνθρωπίνης ἀπάτης, καὶ πλάσματος, κρατηθῇ ἐγκλήματος, τὰς ἁμαρτίας γε μηδαμῶς ἀνατεθήσοιτο. Ὁ κατεργασάμενος ὁ Θεὸς, ἄνθρωπον, οὐ μόνον τὴν αὐτοῦ πατρίδα, τὴν πρὸ καταβολῆς κόσμου, αὐτῷ προορισθεῖσαν, ἀλλὰ καὶ ἑαυτὸν ἀναλαβεῖν πεποίηκε. Διότι, τὸ πρότερον, ὑπὸ τοῦ διαβόλου ἀνδραποδισθεὶς, καὶ τῆς τοῦ Θεοῦ προσόδου ἀποκλεισθεὶς τοῦ καθήκοντος ἀπαλλάξαι μηδαμῶς ἐδυνήσατο. οὐ μὴν ἀλλά γε καὶ τοὺς ἁγιωτάτους τῶν ἀγγέλων ἑαυτοῖς ἀληθῶς ἀπέδωκεν, ὥστε τὰ καθήκοντα πάντως ἐπιτελεῖν δύνασθαι, τοὺς χαρᾶς ἀπαρτισθείσης πρόσθεν μὴ ἀπολαύοντας· Διὰ τὸ τὴν ἁγίαν σελίδα συμμαρτυρεῖσθαι, καὶ αὐτοὺς ἐπιθυμῆσαι σπουδαίως εἰς ἔργον ἀπολυτρώσεως παρακύψαι, καὶ πᾶσαν ἐπιθυμίαν

ἔλεον καταφεύγειν αὐτῶν ἀφροντιστία, προσέφερεν ἀπώλειαν. Καὶ γὰρ ἀπὸ καταβολῆς κόσμου, τὸ τοῦ Θεοῦ ἀρνίον ἐσφάζετο, πᾶσιν εἰς ἄφεσιν ἁμαρτιῶν· εἰ καὶ ἐν πληρώματι τοῦ χρόνου, πολλῶν, εἰς τοὐπίσω, γενεῶν παρελθουσῶν, χερσὶν Ἰουδαίων ἐπὶ τὸ σταυρὸν ἦ ἡρμενύον. Μηδὲ ἔσται τις εὐπροφάσιστον, μὴ ἐγνωκέναι τοῦτον σωθήσεσθαι τρόπον, ἐπεί, χωρὶς πάντων παρὰ τοῦ αὐτοῦ γένους γεγενημένων, ἁγία γραφὴ μαρτυρῆται φωνὴν διδασκαλίας οὐρανίων διδασκάλων ὅλῳ τῷ κόσμῳ περιφανῆ γενέσθαι· Τίνος μαρτυρίας μηδὲ βεβαιοτέραν θεοσεβὴς τὶς ἐπιποθήσει, μηδέ, κἂν ὀξυδερκείας μεγίστης, ἐπιζητεῖν ἀμείνω δύνηται.

Διὰ τοῦτ' ὦ ἄνθρωπε, ὅστις ποτ' ἔσῃ, ποσάκις Θεοῦ κρατίστου, καὶ μεγίστου ἐπιβλέπεις ἔργα θαυμαστικά· ποσάκις αὐτοῦ εὐεργετημάτων ἀναριθμήτων μνησθήσῃ· Τοσαυτάκις ταπεινοφρονῶν, καὶ εὐχαριστῶν ἐνθυμήσῃ, οὐδὲν αὐτῶν μεῖζον, ἄμεινον, ἢ ἀναγκαιότερον γεγενῆσθαι, τοῦ σαυτὸν δουλείας αἰωνίου ἀπαλλαγέσθαι· Τοῦ σαυτὸν παρ' αὐτοῦ υἱοθετεῖσθαι· Τοῦ σαυτὸν εἰς πατρίδα τὴν πρὶν προάγεσθαι. Χωρὶς ἧς εὐεργεσίας, μηδὲν αὐτοῦ ἔργων, εἰ καὶ μεγαλειοτάτων, καὶ τοῦ θεᾶσθαι τερπνοτάτων οὐδὲν εὐφραίνειν δυνήσαιτο. Πῶς γὰρ ἂν ἔχοις τῆς γνώμης αὐτὰ θεασόμενος, ὅταν εἰσελεύσεταί σε, πηλίκη χαρά σοι παρήκμασαι; ἢ πῶς τερπνά, χαρίεντα, καὶ ὠφέλιμα πάντα τῶν αὐτῶν γενήσαιτο, λυπηρότατα τελεσθησόμενα, σοῦ, μετὰ τὸ τεθνηκέναι, πρὸς ᾅδην κατιόντος; τοσαυτάκις τῶν χειρῶν πρὸς οὐρανὸν ἀρθεισῶν, Ἰησοῦ Χριστῷ υἱῷ ὑψίστου τῷ σωτῆρι σου, νοήμασι ταπεινοτάτοις, καὶ εὐλαβεστάτοις, εὐχαριστήσεις, καταξιώσαντι παρ' ἕδρας μεγαλειότητος αὐτοῦ καταβῆναι. Καὶ παυσαμένῳ αὐτῆς, πηλίνου, ἀσθενοῦς, πασῶν ἀρρωστιῶν ἀνθρωπίνων, κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθείς, πάρεξ τῶν τῆς ἁμαρτίας, ἐνόχου σώματος ἐπιλαμβάνεσθαι. Ἐπὶ ταύτης τῆς γῆς διὰ πλείονος, ἐτῶν τριάκοντα, χρόνου διοδεύοντι, τὴν πρὸς ζωὴν αἰώνιον τοὺς ἀνθρώπους ἐνδιδάσκειν.

ὑπὸ μυρίων τοῦ μόχθου βαρυτήτων ταλαιπωροῦντι, θρόμβους
αὐτοτάτου αἵματος, βάρος τῶν ἡμῶν ἁμαρτιῶν βαρυνομένῳ,
περιϊδρόειν. Δεσμοὺς, κολάφους, μαστιγώσεις ὑπομένοντι,
κρίσει ἀνθρωπίνῃ ἑαυτὸν παρίστασθαι· θάνατον, τὸ τελευ-
ταῖον, τιμωρητικώτατον, καὶ ὑβριστικώτατον θανατουμένῳ,
τῷ ἰδίῳ αἵματι πατρὶ πάντας ἡμᾶς αὐτοῦ οὐρανίῳ διαλλάττειν.
ᾧ, ἅμα τῷ πατρὶ, καὶ ἁγίῳ πνεύματι δόξα, καὶ
τιμὴ αἰωνιζόμενα γινέσθω.

εἶπα.

books2ebooks.eu

www.books2ebooks.eu

e-böcker från ditt bibliotek av
eBooks on Demand

digitaliserad av
Kungliga Biblioteket

National Library of Sweden